Τὰ δεξιά.] δεξιοὺς νομίζουσι τοὺς ἐστρατευμένους καὶ ἐπαίνου ἀξίους. τοὺς δὲ διαδιδράσκοντας στρατείας, φιληδόνους εἶναι καὶ συκοφάντας. ἢ τὸ ἐναντίον ἵνα ᾖ πάντες οἱ ἀμαθεῖς, ἔξω ἐστρατευμένοι εἰσίν. Αἱ φύσεις

A δ' ἄλλως.] ἐν εἰρωνείᾳ λέγει. Παρηκονημένων.] παρωξυμμένοι εἰσὶν οἱ θεαταὶ δηλονότι. ἐκ μεταφορᾶς τῶν ξιφῶν, ἅπερ ἀκονῶσιν εἰς μάχην ἐρχόμενοι οἱ ἄνθρωποι. οἰκείως δὲ ἐνταῦθα ὁ Ἀριστοφάνης τοὺς θεατάς.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ, Σκηνὴ πρώτη.

ΕΥΡΙΠΙΔΗΣ, ΔΙΟΝΥΣΟΣ, ΑΙΣΧΥΛΟΣ.

Κορωνὶς ἑτέρα, ἐκ στίχων

Εὐ. ΚΑὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σου τρέψομαι,
Ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος,
Πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
Ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.
Δι. Καὶ ποῖον αὐτοῦ βασανιεῖς; Εὐρ. πολλοὺς πάνυ.
Πρῶτον δέ μοι τὸν ἐξ Ὀρεστίας λέγε.
Δι. Ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ' Αἰσχύλε.
Αἰ. Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη.
Σωτὴρ γενοῦ μοι, σύμμαχός τ' αἰτουμένῳ.
Ἥκω γὰρ εἰς γῆν τήνδε, καὶ κατέρχομαι.
Δι. Τούτων ἔχεις ψέγειν τί; Εὐρ. πλεῖν ἢ δώδεκα.
Δι. Ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ', ἀλλ' ἢ τρία.
Εὐ. Ἔχει δ' ἕκαστον εἰκοσί γ' ἁμαρτίας.
Δι. Αἰσχύλε παραινῶ σοι, σιωπᾶν, εἰ δὲ μή,
Πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανεῖ.
Αἰσχ. Ἐγὼ σιωπῶ τῷδέ γ'; Δι. ἂν πείθῃ γ' ἐμοί.
Εὐ. Εὐθὺς γὰρ ἡμάρτηκεν, οὐράνιόν γ' ὅσον;
Αἰσχ. Ὁρᾷς, ὅτι ληρεῖς; Δι. ἀλλ' ὀλίγον γέ μοι μέλει.
Αἰσχ. Πῶς φῄς μ' ἁμαρτεῖν; Εὐρ. αὖθις ἐξ ἀρχῆς λέγε.
Αἰ. Ἑρμῆ χθόνιε πατρῷ' ἐποπτεύων κράτη.

B

## ACTVS V. SCENA prima.

EVRIPIDES, BACCHVS, ÆSCHYLVS.

ἰαμβικῶν. ρλϛ.

*EV.* *IGitur ad prologos me iam conuerto tuos,*
C *Tanquam primam partem cuiusque Tragœdiæ,*
*Examinabo hunc primum, quid habeat boni,*
*Nam obscurus est in verbis & rebus simul.*
BA. *Quem tu prologum examinabis?* *EV.* *plurimos.*
*Age recita mihi tu prologum Orestiæ.*
BA. *Tacete nunc omnes: recita tu mi Æschyle.*
D ÆS. *Terrene Mercuri, imperia obseruans patris,*
*Serua me, & adiutor petenti adsis mihi:*
*Nam venio & descendo modo in hanc terram redux.*
BA. *Habésne, quod cauillere?* *EV.* *vltra duodecim.*
BA. *At hæc omnia non sunt duodecim, sed tria.*
E *EV.* *At vnumquodque viginti vitia habet.*
BA. *Æschyle, ego te moneo, vti taceas: sin minus,*
*Hos præter Iambos tres, reus eris plurium.*
ÆS. *Huic ne vt ego taceam?* BA. *siquidem tu me audire vis.*
*EV.* *Quippe initio statim peccauit, proh Deum*
*Quantopere?* ÆS. *viden' quod nugeris?* BA. *mihi curæ est parum.*
F ÆS. *Quomodo peccare dicis?* *EV.* *repete ab initio.*
ÆS. *Terrene Mercuri, imperia inspectans patris.*

Σχόλια. Καὶ μὴν ἐπ' αὐτούς.] κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλϛ. ὧν τελευταῖος μελοποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ' ἀεί. ἐπὶ τῷ τέλει κορωνίς. Τοῦ δεξιοῦ.] ἀντὶ τοῦ ἐπιδεξίου. ἐν εἰρωνείᾳ δὲ τοῦτό φησι. Ἐξ Ὀρεστίας.] τετραλογίαν φέρουσι τὴν Ὀρεστίαν αἱ διδασκαλίαι. Ἀγαμέμνονα. Χοηφόρους. Εὐμενίδας. Πρωτέα σατυρικόν. Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι χωρὶς τῶν σατυρικῶν. Πατρῷ' ἐποπτεύων.] τὸ πατρῷα κεκίνηκε τὴν ἀμφιβολίαν. ἤτοι γὰρ τοῦ ἐμοῦ πατρὸς Ὀρέστης φησίν, ἢ τὰ καθ' ᾅδου λέγει πατρῷα κράτη τοῦ Ἑρμοῦ, καθ' ὃ καὶ χθόνιος ὁ Ἑρμῆς ὁ ἐκ πατρὸς ἔχων τὰς ἐν τῷ κόσμῳ βασιλείας ἐπιτηρεῖν. δέον δὲ εἰπεῖν πατρόθεν, πατρῷα εἶπε πρὸς τὸ κράτη. δῆλον δὲ ἐκ τοῦ πατρῷον τοῦτο κέκτηται γέρας. Σωτὴρ γενοῦ μοι.] ἐπὶ τοῦ παρόντος ἀγῶνος ὃν ἀγωνίζομαι θέλων τιμωρῆσαι τῷ πατρί.
G Ἀλλ' ἢ τρία.] ἔξωθεν προσληπτέον τὸ ἔπη ἢ ἰαμβεῖα. Προσοφείλων.] χρεωστῶν αὐτῷ καὶ ἑτέραν μέμψιν πρὸς τῇ προτέρᾳ ἢ τιμωρηθήσομαι. Ὁρᾷς ὅτι ληρεῖς.] ὁ Αἰσχύλος πρὸς τὸν Διόνυσον, ὡς ἀπαλωμένου ὑπὸ Εὐριπίδου. διὸ ἐπιφέρει Διόνυσος. ὀλίγον γέ μοι μέλει. Ἀλλ' ὀλίγον γέ μοι.] οὐ μέλει μοι ὑβριζομένῳ. ἀλλὰ καταφρονῶ σου. οὐ φροντίζω φησὶ κἂν λέγῃς ὅτι ἥμαρτεν.